πᾶσι θανάτοις, οἱ κατὰ τὸν εἰρημένον τρόπον μεταστάντες τοῦ ζῆν, ὅταν οἱ τὴν κυρείαν τοῦ θανάτου λαβόντες ἐπὶ τῆς ἰδίας, ἢ τῆς οἰκείας φυσικῆς ἰδιοτροπίας τύχωσιν ὄντες, ὑπὸ μηδενὸς καθυπερτερηθέντες, τῶν κακῶσαι καὶ ἐπιφανέστερον ποιῆσαι τὸ τέλος δυναμένων. βιαίοις δὲ καὶ ἐπισήμοις, ὅταν ἢ ἀμφότερα κυριεύσωσιν οἱ κακοποιοὶ τῶν ἀναιρετικῶν τόπων ἤτοι συνόντες, ἢ τετραγωνίζοντες, ἢ διαμηκίζοντες, ἢ καὶ ὁ ἕτερος αὐτῶν, ἢ καὶ ἀμφότεροι τὸν ☉, ἢ καὶ τὴν ☾. ἢ καὶ ἀμφότερα τὰ φῶτα κακωθῶσι, τῆς μὲν τοῦ θανάτου κακώσεως, ἀπὸ τῆς αὐτῶν συνελεύσεως συνισταμένης, τοῦ δὲ μεγέθους, ἀπὸ τῆς τῶν φώτων ἐπιμαρτυρήσεως, τῆς δὲ ποιότητος πάλιν, ἀπὸ τῆς τῶν λοιπῶν ἀστέρων ἐπιθεωρήσεως, καὶ τῶν τοὺς κακοποιοὺς περιεχόντων ζωδίων. ὁ μὲν γὰρ τοῦ ♄ τὸν ☉ παρὰ τὴν αἵρεσιν τετραγωνίσας, ἢ διαμηκίσας, ἐν μὲν τοῖς στερεοῖς, ποιεῖ τοὺς διὰ κατάληψιν ὄχλων ἢ ἀγχόνης, ἢ στραγγαλιαῖς ἀπολλυμένους· ὁμοίως δὲ κἂν διώκῃ τῆς ☾ ἐπιφερομένης. ἐν δὲ θηριώδεσι ζωδίοις, ὑπὸ θηρίων διαφθειρομένους, κἂν ὁ τοῦ ♃ ἐπιμαρτυρήσῃ κακούμενος καὶ αὐτὸς ἐν δημοσίοις τόποις ἢ ἐπισήμοις ἡμέραις, θηριομαχοῦντας, ἐν θεάτροις· ἀντικείμενος δὲ ἑκατέρῳ τῶν φώτων, ἐν εἱρκταῖς ἀπολλυμένους. τῷ δὲ τοῦ ☿ συσχηματισθεὶς, καὶ μάλιστα περὶ τὴν ἐν τῇ σφαίρᾳ ὄφεις, ἢ τὰ χερσαῖα τῶν ζώων, ἀπὸ δακετῶν ἰοβόλων ἀποθνήσκοντας, Ἀφροδίτης δὲ αὐτοῖς προσγινομένης, ὑπὸ φαρμακειῶν, καὶ γυναικείων ἐπιβουλῶν, ἐν παρθένῳ δὲ καὶ ἰχθύσιν, ἢ τοῖς καθύγροις ζωδίοις τῆς ☾ συσχηματισθείσης, ὑποβρυχίους ἐν ὕδασιν ἀποπνιγομένους, περὶ τὴν Ἀργὼ, καὶ ναυαγίοις περιπίπτοντας. ἐν δὲ τοῖς τροπικοῖς ☉ συνὼν, ἢ διαμηκίσας, ἢ ἀντὶ τοῦ ☉ τὸν τοῦ ♂, ὑπὸ συμπτώσεων καταλαμβανομένους, ἐὰν δὲ καὶ μεσουρανήσωσιν, ἀφ' ὕψους κατακρημνιζομένους. ὁ δὲ τοῦ ♂ τὸν ☉ παρ' αἵρεσιν ἢ τὴν ☾ τετράγωνος ἢ διάμετρος σταθεὶς, ἐν μὲν τοῖς ἀνθρωποειδέσι ζωδίοις, ἐν στάσεσιν ἐμφυλίοις, ἢ ἀπὸ πολεμίων ποιεῖ σφαζομένους, ἢ αὐτόχειρας ἑαυτῶν γινομένους, διὰ γυναῖκας δὲ ἢ γυναικῶν φονευομένους, ἐπὰν καὶ ὁ τῆς ♀ αὐτὸν μαρτυρήσῃ, κἂν ὁ τοῦ ☿ δὲ αὐτῷ συσχηματισθῇ, ὑπὸ πειρατῶν ἢ λῃστηρίων, ἢ κακούργων ἀπολλυμένους. ἐπὶ δὲ τῶν μελοκοπουμένων, καὶ ἀτελῶν ζωδίων, ἢ κατὰ τὸ Γοργόνιον

τοῦ Περσέως